eul_wid: egu-aa

*Θρασύβουλος* · Thrasybulus

# Fragments on Tyranny

*Ἀπόσπασμα περὶ Τυραννίδος*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Format:** *Ἐπιστολή* Epistle

1 Περιάνδρῳ.

2 Τῷ μὲν κήρυκί σευ οὐδὲν ὑπεκρινάμην, ἀγαγὼν δὲ αὐτὸν ἐς λήιον τοὺς ὑπερφυέας τῶν ἀσταχύων ῥάβδῳ παίων ἀπεθέριζον ὁμαρτέοντος ἐκείνου. καί σοι ἀναγγελέει εἰ ἐπέροιο ὅ τί μευ ἀκούσειεν ἢ ἴδοι. σὺ δὲ ποίει οὕτως, ἤν γ᾽ ἐθέλῃς καρτύνασθαι τὴν αἰσυμνητίην. τοὺς ἐξόχους τῶν πολιτέων ἐξαίρειν, ἤν τέ τις ἐχθρός τοι φαίνηται, ἤν τε μή· ὕποπτος γὰρ ἀνδρὶ αἰσυμνήτῃ καὶ τῶν τις ἑτάρων.